ἐκ τοῦ Πατρὸς λάμψαντα παντουργὸν λόγον.
πρὸς ὃν βοῶμεν ἐν χαρᾷ τε καὶ πόθῳ·
ὁ σάρκ᾽ ἀτρέπτως προσλαβὼν ἐκ παρθένου
τὴν σὴν δὸς ἡμῖν πᾶσιν εἰρήνην λόγε
σὲ προσκυνοῦσιν ὄντα διπλοῦν τὴν φύσιν.

## Εἰς τὸ, ΤῸ ΠΡΟΣΤΑΧΘῈΝ ΜΥΣΤΙΚΩ͂Σ.

Ὃ προσέτακται μυστικῶς ὑπὲρ λόγον
ὁ Γαβριὴλ γνοὺς, ὡς παρεστὼς τῷ θρόνῳ
τοῦ Παντάνακτος τῷδ᾽ ὑπουργῶν ὠκέως,
σκηνῇ τ᾽ ἐπέστη τῇ γ᾽ Ἰωσὴφ ἐν τάχει,
τῇ Παρθένῳ τ᾽ εἴρηκε· σῇ μήτρᾳ βλέπων
τὸν οὐρανοὺς κλίναντα τῇ καταβάσει
χωρούμενον νῦν ἐμφανῶς τροπῆς δίχα,
δούλου τε μορφὴν λαμβάνονθ᾽ ἑκουσίως
ἐξίσταμαι, θάμβει τε καὶ χαρᾷ λέγων
νῦν σοί γε χαῖρε νυμφίου νύμφη δίχα.

## Εἰς τὸ, ΧΡΙΣΤῸΣ ἈΝΈΣΤΗ ἘΚ ΝΕΚΡΩ͂Ν.

Χριστὸς τριταῖος ἐξανέστη τοῦ τάφου
νεκροὺς ἐγείρας καί μόρῳ κτείνας μόρον.

### Ἄλλως.

Ἔγρετ᾽ ἀπὸ φθιμένων καὶ νηλέα κάββαλε πότμον
Χριστὸς ἑῷ πότμῳ, πνοιὴν δοὺς τοῖς ἐνὶ τύμβοις.

Ἄλ-